εἰς σωτηρίαν καὶ ὅσα αἴτια τοῦ εἶναι· ἢ ἐς πλοῦτον
ἢ ἔς τι τῶν ἄλλων ἀγαθῶν· ὧν μὴ ῥᾴδιαι αἱ κτήσεις· ἢ
ὅλως· ἢ ἐνταῦθα· ἢ ποτέ· πολλοὶ γὰρ διὰ μικρὰ δοκοῦντα
τιμῆς τυγχάνουσιν· ἀλλ' οἱ τόποι καὶ οἱ καιροὶ αἴτιοι. μέρη
δὲ τιμῆς, θυσίαι· μνῆμαι ἐν μέτροις καὶ ἄνευ μέτρων·
γέρα· τεμένη· προεδρίαι· τάφοι· εἰκόνες· τροφαὶ δη-
μόσιαι· τὰ βαρβαρικά· οἷον προσκυνήσεις καὶ ἐκστάσεις·
δῶρα τὰ παρ' ἑκάστοις τίμια· καὶ γὰρ τὸ δῶρον, ἐστὶ κτή-
ματος δόσις καὶ τιμῆς σημεῖον· διὸ καὶ οἱ φιλοχρήματοι
καὶ οἱ φιλότιμοι ἐφίενται αὐτῶν· ἀμφοτέροις γὰρ ἔχει ὧν
δέονται· καὶ γὰρ κτῆμά ἐστιν οὗ ἐφίενται οἱ φιλοχρήματοι·
καὶ τιμὴν ἔχει οὗ οἱ φιλότιμοι· σώματος δ' ἀρετὴ ὑγίεια·
αὕτη δ' οὕτως, ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασι·
πολλοὶ γὰρ ὑγιαίνουσιν ὥσπερ ἡρόδικος λέγεται· οὓς οὐδεὶς
ἂν εὐδαιμονίσειε τῆς ὑγιείας διὰ τὸ πάντων ἀπέχεσθαι
τῶν ἀνθρωπίνων· ἢ τῶν πλείστων· κάλλος δ' ἕτερον
καθ' ἑκάστην ἡλικίαν ἐστί· νέου μὲν οὖν κάλλος τὸ πρὸς
τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα· τούς τε πρὸς δρόμον
καὶ πρὸς βίαν· ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν· διὸ οἱ πέν-
ταθλοι κάλλιστοι· ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα
πεφύκασιν· ἀκμάζοντος δέ, πρὸς μὲν πόνους τοὺς
πολεμικούς· ἡδὺν δὲ εἶναι δοκεῖν μετὰ φοβερότητος·
γέροντος δέ, πρὸς μὲν πόνους τοὺς ἀναγκαίους, ἱκανόν· ἄ-
λυπον δὲ διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται· ἰσχὺς
δ' ἐστὶ μὲν δύναμις τοῦ κινεῖν ἕτερον ὡς βούλεται· ἀνάγκη
δὲ κινεῖν ἕτερον ἢ ἕλκοντα ἢ ὠθοῦντα· ἢ αἴροντα ἢ πιέ-
ζοντα ἢ συνθλίβοντα· ὥστε ὁ ἰσχυρὸς ἢ πᾶσιν ἢ τούτων
τισίν ἐστιν ἰσχυρός· μεγέθους δ' ἀρετή, τὸ ὑπερέχειν
κατὰ τὸ μῆκος καὶ βάθος καὶ πλάτος τῶν πολλῶν· τὸ